This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

G144p
1908

Gaisford Greek Prose

1908

Warren Hastings' Defence of his Administration in India

By Leslie Whitaker Hunter

Scholar of New College


1837
ARTES
VERITAS
SCIENTIA
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
E PLURIBUS UNUM
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE

808
G14
1908

Gaisford Greek Prose, 1908

Warren Hastings' Defence of his Administration in India

(Thucydideo more)

By Leslie Whitaker Hunter
Scholar of New College

'The evil that men do lives after them'

Oxford
B. H. Blackwell, 50 & 51 Broad Street
1908


1837
ARTES
SCIENTIA
VERITAS
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
E PLURIBUS UNUM
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE

808
G144
1908

Gaisford Greek Prose, 1908

Warren Hastings' Defence of his Administration in India

(Thucydideo more)

By Leslie Whitaker Hunter
Scholar of New College

'The evil that men do lives after them'

Oxford
B. H. Blackwell, 50 & 51 Broad Street
1908

NOTE.—*The arguments used in this speech are almost without an exception taken either from the actual speeches of Hastings and his Counsel during the trial, or the State Papers compiled by him during his administration in India.—L. W. H.*

ΑΠΟΛΟΓΙΑ ΣΠΕΥΣΙΠΠΟΥ ΠΕΡΙ ΤΗΣ ΕΝ ΤΗΙ ΙΝΔΙΚΗΙ ΣΤΡΑΤΗΓΙΑΣ

I. Τὴν μὲν παρασκευήν, ὦ ἄνδρες δικασταί, τῆς δίκης ταύτης πῶς οὐκ εἰκὸς ἐμὲ φοβεῖσθαι, ὡς παρ' εὐγενεστάτοις καὶ λαμπροτάτοις τῶν Βρετανῶν τὴν ἀπολογίαν ποιούμενον καὶ πρὸς ἄνδρας λέγειν τε δυνατωτάτους καὶ μετὰ τοῦ πιθανοῦ ψεύδεσθαι ἄριστα ἐπισταμένους· τόν τε γὰρ ἀγῶνα τόνδε οὐ σμικροῦ λόγου ὄντα αἰσθάνομαι, μᾶλλον δὲ περὶ τῶν μεγίστων τε καὶ οὐκ ἐμοὶ μόνῳ ἀλλ' ἑκάστῳ τινὶ τῶν πολιτῶν οὐδὲν ἧσσον οἰκείων· περὶ τρόπου γὰρ τῆς ἡμετέρας ἀρχῆς κρίσις ἡ νῦν οὖσα καθέστηκε.

II. Καίτοι ὃ μάλιστα δέδοικα, τοῦτο φράσω· τῆς γὰρ κατηγορίας ἐμοῦ οὕτως ἰσχυρᾶς γενομένης φοβοῦμαι μὴ ὑμεῖς πως οὐ κοινοὶ ἀποβῆτε πρὸς τὴν ἐμὴν ἀπολογίαν, ἀλλὰ τῷ εὐπρεπεῖ τῶν ὑπ' ἐκείνων λεγομένων παραγόμενοι τὸ ἐμὸν ἀληθὲς περὶ οὐδενὸς ἡγῆσθε. πολλάκις μὲν οὖν τὸ πείθειν οἶδα χαλεπὸν ὂν ὅτι πάνυ ἀναίτιός ἐστιν ὁ περὶ τῶν ἐσχάτων κινδυνεύων· ὁ δὲ νῦν καιρὸς πλείστην ἔχει τὴν ἀπορίαν, πρῶτον μὲν διὰ τὸ χρόνον ἤδη μακρὸν παρελθόντα ἀμβλυτέραν τῶν τότε γενομένων τὴν μνήμην παρέχειν, εἶτα δὲ τῶν κατηγόρων παντοίᾳ ἰδέᾳ τοῦ πείθειν ἐν τῇ ἐκκλησίᾳ ἠσκημένων, μὴ ξυμβῇ ἐμοὶ ἀπείρῳ ὄντι τοῦ ἐπὶ τὸ μεῖζον κοσμῆσαι τὸν λόγον τῇ μὲν ἀληθείᾳ γε πολλῷ περισσεύειν, τοῦ δὲ πιθανοῦ πως ἐλλείποντι

182354

ἔλασσον ἔχειν· καίτοι ἀνάξιόν γ' ὑμᾶς ἐν τῷ τοιούτῳ τοὺς ἐκείνων λόγους μᾶλλον ἢ τἀμὰ ἔργα σκοποῦντας τὴν ψῆφον τίθεσθαι. πρόσεστι δὲ καὶ τόδε, ὅτι ὑπὸ τοῦ πλήθους τῶν ἐγκλημάτων ἀπορῶν οὐχ ἔχω πρὸς τί πρῶτον ἀντείπω· ψευδῆ μὲν γὰρ τὰ πάντα, οὐ μέντοι ῥᾴδιον ἔχει τὸν ἔλεγχον· οὗτοι γὰρ φόνου καὶ ἁρπαγῆς καὶ δώρων καὶ ὅρκων λύσεως καὶ παντοίας ἀδικίας ἐμὲ διώκοντες παλαιὰ ξὺν νέοις εἰκῇ συγκεχυμένα προφέρουσιν, εἰδότες ῥᾴδιον μὲν ὂν τὸ διαβάλλειν, χαλεπὸν δὲ τὰ καθ' ἕκαστα ὡς ἀληθῶς ξυνέβη διακρίνειν· παρεχόμενος δ' ὅμως ἃ ἔχω δίκαια πρὸς τὰ κατηγορημένα καὶ τῶν εὖ δεδραμένων ὑπόμνησίν τινα (εἰκὸς γάρ) ποιησάμενος πείθειν πειράσομαι.

III. Καίτοι πολλὰ δὴ ἔγωγε ἔχω ὑμῖν μέμψασθαι, ὅτι τὸν εὖ ποιήσαντα οὐκ ἀπὸ τοῦ ἴσου κακοῖς ἀμύνεσθε· οἳ πρῶτον μὲν κατελθόντι σίτησίν τ' ἐμοὶ ἐν πρυτανείῳ ἐψηφίσασθε καὶ ἐς τὰ πρῶτα ἐτιμᾶτε, πρόσχημα μέν, ὡς δοκεῖ, εὐνοίας ποιούμενοι, γνώμῃ δὲ τἀναντία ἐπιβουλεύοντες· ἐγὼ δ' οὖν οὐ τοιάνδε δίκην οἰόμενος ὑφέξειν εὐηθείᾳ μᾶλλον ἢ προνοίᾳ ἐχρώμην, πολλὴν τὴν ἄλλην ἀσφάλειαν νομίζων εἶναι καὶ τῷ Πίτθῳ οὐχ ἥκιστα πιστεύων· ὁ δ' ἄσμενος ἐμὲ τὸ πρῶτον δεξάμενος καὶ διὰ πολλῆς ἔχων φιλίας ὕστερον ἐς τοὐναντίον τῆς δόξης περιέστη καὶ προδοὺς αἰσχίστῳ τρόπῳ ἐχθρὸς ἐκ φίλου γέγονε, τῷ μετ' ἀσφαλείας ξυμφέροντι τὸ πλέον νέμων ἢ τῷ μετὰ κινδύνου καλῷ. καὶ δὴ φιλονικοῦντά πως πρὸς τὸν Τυρλῷον ὑποπτεύω καὶ τοῖς νεωτερίζουσι βουλόμενον χαρίζεσθαι ἀλλότριον αὐτῷ τὸ ἐμὸν καίπερ οἰκεῖον ὂν τίθεσθαι, ἀνάξιά θ' αὐτοῦ ποιοῦντα καὶ τῆς πόλεως ἧς κατέστη προστάτης. καὶ τότε πρῶτον ἐξαπατηθεὶς ᾐσθόμην καὶ

ὡς χρὴ πρὸς τὰ μέλλοντα δεινὰ παρασκευήν τινα ποιεῖσθαι· εἰκὸς μέντοι τὰ πεπραγμένα βαρέως φέρειν.

IV. Καὶ μή τινι ὑμῶν ἄνοια δοκείτω εἶναι, ἢν τὸ εὔλογον τοῦ συμφέροντος ἀπορρίψας τοῦ δικαίου μόνου ἀντέχωμαι· λόγος μὲν γάρ τίς ἐστι παρ' ἀνθρώποις, ὡς τὸ ἀδικεῖν ἔστιν ὅτε ξυγγνώμην ἔχει τινὰ τῷ ἐκ τῶν παρόντων τὰ χρησιμώτατα σκοποῦντι· ᾧ πολλὰ δὴ ἐν τοῖς πολιτικοῖς ἢ ἰδιώτης τις χρησάμενος ἐξέφυγε τὸ δίκην δοῦναι. ἔμοιγ' οὖν εἴ τινι ἄλλῳ τῇ τοιαύτῃ προφάσει ἐξὸν χρήσασθαι, καὶ τῆς τόθ' ἁμαρτίας, εἰ ἄρα ἡμάρτητό τι, ἀντιθεῖναι τὴν ἀεὶ προθυμίαν (καὶ γὰρ ἐς ὅσον ἀνάγκης ἐνδείᾳ χρημάτων ἀφῖγμαι καὶ ῥᾳθυμίᾳ τῶν ἐν τέλει ὄντων ἤδη παρ' ἄλλων ἀκούσαντας αὐτὸς σαφέστερον ἔτι διδάξω), τὸ δίκαιον μόνον ὅμως ἀξιῶ παρ' ὑμῶν λαβεῖν, καὶ ἤν τι ἀδικήσας ποτ' ἐν τῇ ἀρχῇ εὑρεθῶ, τῇ προσηκούσῃ ζημίᾳ ζημιοῦσθαι· ἢν δὲ μή, κάλλιστα ἀπολυθῆναι. τὸ γὰρ μηδὲν αἰσχρὸν ἑαυτῷ ξυνειδέναι κάλλιον ἢ ξυνειδότα δι' ἔλεόν τινα ξυγγνώμης τυχεῖν.

V. Προοίμιον μὲν νῦν εἴρηται τοσοῦτον· ὃ καὶ μᾶλλον ἐς τόδε ἐμήκυνα οὐ δι' ἡδονήν τινα λόγων, ᾗ ῥήτωρ τις μάλιστ' ἂν τέρποιτο, ἀλλὰ τῇ παρεστώσῃ ἀνάγκῃ ἐπαγόμενος. τὴν δ' ἐκεῖ τῶν πραγμάτων ἀπ' ἀρχῆς κατάστασιν ἐφ' ὅσον δύναμαι διερχομένῳ ἀξιῶ ὑμᾶς τὸν νοῦν προσέχειν, εὖ εἰδὼς ὅτι οἱ μακρότεροι λόγοι, οὗ μὲν βραχεῖς ἀρκῶσιν, ἀξύμφοροι, ἢν δ' αὖ τε τῶν προὔργου δέῃ διδάσκειν, τὰ πλεῖστα ὀρθοῦσιν.

Ἐμοὶ γὰρ τὴν ἀρχὴν παραλαβόντι τῆς Ἰνδικῆς εὐθὺς ἐμποδὼν κατέστη πολλὰ μὴ ὀρθῶς τὰ ὑφ' ὑμῶν ἐπεσταλμένα ἐς τέλος ἐλθεῖν. αἴτιον δ' αὐτὸ τοῦτο τὰ

μήτε γιγνώσκειν ὑμᾶς τὰ παρ' ἐκείνοις ὡς ἀληθῶς ἔχει, μήτε φροντίζειν τι τῶν δεόντων, ὡς βοηθητέον μᾶλλον τοῖς Ἰνδοῖς ἢ πολεμητέον· τοὺς γὰρ πολλοὺς οἶδ' ὅτι δόξα τις εὐηθεστάτη παράγει καὶ μάλιστα τοὺς τῶν ἐμπορίων ἐπιστάτας[1] ὡς θεῖόν τι εὕρημά ἐστιν ἡ Ἰνδικὴ καὶ θησαυρός τις πλούτου δαιμόνιος πρὸς τὸ κερδαίνειν, ἐξ οὗ ὅσῳ πλέον τις ἀφαιρεῖται, τοσούτῳ πλέον ἀεὶ φύεται ἀπὸ τοῦ αὐτομάτου· πολλοὶ δ' οὖν ἐν τῷ πρὶν χρόνῳ ἐς τὰ ἐκεῖ παρελθόντες καὶ παντὶ τρόπῳ ληιζόμενοι καὶ καθυβρίζοντες τοὺς ἐνοίκους οὐδὲν ἄλλο ἢ τὰ μὲν ἴδια ηὔξησαν, τοῦ δὲ κοινοῦ σφόδρα ἠμέλησαν· (εὔληπτος γὰρ παρὰ βαρβάρων ὁ χρυσός, ἤν τις κρείσσων ἀδικῇ, τοῖς δ' ἠδικημένοις οὐ ῥᾴδιον τὸ τιμωρεῖσθαι.) τέλος δ' ἀπ' οὐδεμιᾶς ἤδη προφάσεως τὰ μέγιστα ἠδίκουν. πρὸς ταῦτ' οὖν τὸ δὴ ἀξίωμα τῶν Βρετανῶν περὶ πολλοῦ ποιούμενοι οἱ ἐπιστάται πολλῇ μὲν ἀκριβείᾳ ἐν τῷ χρηματίζεσθαι ἐκέλευον χρῆσθαι, οὐδὲν μέντοι ἧσσον ἐπράσσοντο τὰ χρήματα, καὶ εἰ μή τις ἄρχων τὰ προσήκοντα ἀποδοίη, δεινὸν ἂν ἐποιοῦντο. ὥστε ἔμοιγε ξυνέβη, ὦ ἄνδρες, ἐξ ἀρχῆς τοιᾷδε ἀπορίᾳ ξυνέχεσθαι, ἢ τοῖς ἐπιστάταις ἐπίφθονος γίγνεσθαι τὰ χρήματα μὴ πρασσόμενος, ἢ τοὺς Ἰνδοὺς ἤδη φλαύρως ἔχοντας ἐς χεῖρον τιθέναι.

VI. Καὶ τοῦτο δὴ πρῶτον οἱ ἐνθάδε δι' ὄχλου ἐμοὶ ἐγένοντο, τὰ μηδενὶ ἂν τρόπῳ παρεχόμενα ἀπαιτοῦντες· δεύτερον δὲ τόδε. τὸ γὰρ μέτριον περὶ τῶν χρημάτων βαρέως φέροντες, τὴν ἐμὴν ἐξουσίαν φανεροὶ ἦσαν δι' ὀλίγου ἀφανίζοντες τοιῷδε τρόπῳ. συγγράψαντος γὰρ

[1] τοὺς τ. ἐ. ἐπιστάτας. The Directors of the East India Company (see Macaulay, *Warren Hastings*).

ἐμοῦ περὶ τῶν ἐπὶ Βεγγαλίας ὡς οὐκ ὀρθῶς κατὰ τὰ ὑπάρχοντα δοκεῖ πολιτεύεσθαι, καὶ νόμους ἢ πολιτείαν τινὰ ἀξιοῦντος δοῦναι, ὡς μεγάλης οὔσης τῆς ἀρχῆς καὶ οὐχ ὑπ' ἰδιωτῶν ἀλλ' ἐπὶ τῷ κοινῷ βέλτιστ' ἂν οἰκουμένης (τό τε γὰρ ἴδιον φιλάργυρον, τὸ δ' ὑπεύθυνον φόβῳ ζημίας σωφρονέστερον) ἐπῄνει ὁ δῆμος, καὶ σαφεστέραν τὴν ἰδέαν τῆς ἀρχῆς ἐς τοὔπειτα κατεστήσατο, τὰ μὲν εὖ φρονοῦντες, τὰ δ' αὖ δι' ἄγνοιαν σφαλέντες ἥμαρτον· ψήφισμα γὰρ τόδε μάλιστα τῆς φιλονικίας καὶ ἔριδος καὶ τῶν κατ' ἐμοῦ διαβολῶν ἀρχὴ γέγονεν.

VII. Τεσσάρων γὰρ ὄντων οὓς ἐμοὶ περὶ τῶν μεγίστων ξυμβουλεύσοντας ἐξέπεμψαν οἱ ἐπιστάται, τρεῖς ξυνωμόται κατ' ἐμοῦ μᾶλλον ἢ ξύμβουλοι ἐξ ἀρχῆς ἐγένοντο, τῇ τ' ἐμῇ ἐξουσίᾳ παντὶ τρόπῳ ἀνθιστάμενοι καὶ τῇ ψήφῳ ἀεὶ κρατοῦντες ἐς τοὔμπαλιν ἐτίθεντο τὰ δεδογμένα καὶ τὰ ἡμέτερα ὅσον οὐ κατ' ἄκρας διέφθειρον. καὶ δὴ ξυγγνώμης μέν τι ἔχει τὰ τοιαῦτα ὅταν τῶν κοινῶν εὐλαβούμενός τις δι' ἀπεχθείας τινὶ ἔλθῃ· οὗτοι δὲ καὶ παντὸς μᾶλλον ὁ Φραγκίσκος φανερὸς ἦν πρὸς ἐμὲ φιλονικῶν καὶ πράγματα παρέχων· τεκμήριον δέ· αὐτὸς γὰρ τοῖς ἐπιστάταις ἀπροφασίστως σημαίνει ὅτι τεθορύβηται τὰ κοινὰ ἵνα τὸ ἐμὸν ἀξίωμα καθελόντες τὰ περὶ χρημάτων ἠδικημένα ῥᾷον ἐλέγχωσιν. καὶ δὴ ὑπ' αὐτῶν καθ' ἡμέραν ὅσα ἔπασχον οὔτ' ἀνεκτὸν λέγειν οὔτ' ἐς τὴν ἀκρόασιν οἶδ' ὅτι καίπερ ἀληθῆ ὄντα τὸ πιστὸν ἕξει· τὰς μὲν γὰρ ἰδίας ἐπιστολὰς λύοντες καὶ τοὺς λόγους μου ἐνεδρεύοντες τὸ πρῶτον οὐκ ᾐσχύνοντο, τέλος δὲ πρὸς τὸ ἔσχατον χωρήσαντες τοῦ θάρσους οὕτως ἐκ τοῦ ἐμφανοῦς προὐπηλάκιζον ὥστε

βαρβάρῳ τινὶ Νυγκώμαρι πάντα κοινωσάμενοι ἐμὲ τὸν ὑφ' ὑμῶν ᾑρημένον ἄρχοντα παρ' οἷς αὐτὸς ἐπρυτάνευον εἰς δίκην ὑπῆγον. κἄγωγ' οὖν, ὦ ἄνδρες, ἀντέλεγόν τι ἰσχυρῶς, ὡς λόγῳ μὲν τὸν Νυγκώμαρα, ἔργῳ δὲ τοὺς ξυμβούλους κατηγόρους ὄντας οὔθ' ἅμα δίκαιον τὸ ἐμὸν δικάζειν, οὔτ' ἐμὲ πρῶτον ὄντα τῶν ἐν τῇ Ἰνδικῇ πονηρῷ τινι βαρβάρῳ τὰ μήτ' ὄντα μήτ' ἂν γενόμενα λογοποιοῦντι εὐθύνας διδόναι· διέλυσα δ' οὖν τὸ ξυνέδριον. κἀνταῦθα δὴ σαφὲς τῶν ὑπ' ἐμοῦ ἠδικημένων τεκμήριον ἔφασαν σφίσιν ὑπάρχειν, καὶ εἰ μὴ τὸν Νυγκώμαρα ἠφάνισα, τὸ ἐμὸν ἀνέλπιστον ἂν ἤδη φαίνεσθαι. οὐ μέντοι ἠφανίσθη γ', ἀλλὰ πολλῇ ἀκριβείᾳ τῶν νόμων χρώμενος ὁ Ἰμπεῖος πολλάκις ἄξιον ὄντ' ἀποθανεῖν θανάτῳ μετὰ τοῦ δικαίου ἅπαξ ἐζημίωσεν, ἐμοὶ μὲν δὴ χάριν οὐδεμίαν φέρων, τὸ δὲ δίκαιον μετὰ δυσκλείας μᾶλλον αἱρούμενος ἢ τὸ μετ' ἀσφαλείας ἀδικεῖν· καὶ γὰρ οὗτος οὐκ ἐπ' ἰδίᾳ ἔχθρᾳ μᾶλλον ἢ τὰ μέγιστα εἷς ὢν τὰ κοινὰ ἀδικήσας τοῖς ἀξίοις ἀπὸ τοῦ ἴσου περιέτυχεν. οὐ μὴν ἀλλ' εἰ βιαίως αὐτὸς διεχρώμην, ξυγγνώμην ἂν εἶχεν· ἐξὸν γὰρ τὰ πάνθ' ὑμῖν διαφθειρόμενα περιορᾶν ἢ ἕνα ἄνδρα τὸν διαφθείροντα καταπαῦσαι, ἀνάγκη ἂν ἦν τὸ ἀκριβὲς τοῦ λόγου προέμενον βεβαίως ἤδη τοῦ ἔργου ἀντέχεσθαι. τὸ γὰρ ἀνεπίληπτον τοῦ κρείσσονος μόνον τοῖς βαρβάροις πιστὸν ἐς ξυμμαχίαν· ὅταν δὲ τοὺς ἄρχοντας γνῶσι διαστάντας, ἐπὶ καταφρόνησιν γνώμῃ χωροῦντες ἔργῳ τῇ ἀποστάσει ἐπεξέρχονται· ὃ δὴ μέγιστον τὸ ξυνέδριον καταστήσαντες τὰ ὑμέτερα κακῶς ἐποιεῖτε, τὸ ἐμὸν αὐτόκρατορ ἀφελόντες· δίκαιον γὰρ τὸν ᾑρημένον ἄρχοντα ἄρχειν ἀλλ' οὐ τοὺς ξυμβούλους.

VIII. Πολλῶν μὲν οὖν ὑπαρχόντων ὧν δικαίως ἂν τῷ ψηφίσματι μεμψαίμην, τὸ ἀσαφὲς αὐτοῦ μάλιστα ἐπιτιμητέον, ὅτι οὐδὲν δῆλον σημαίνεται περὶ τοῦ τρόπου τῆς ἀρχῆς· ἐξὸν γὰρ ὑμῖν τὴν Βεγγαλίαν ἀπὸ τοῦ ἐμφανοῦς προσποιεῖσθαι, περιδεεῖς πως γιγνόμενοι τὸ κάλλιστον ὄνομα τοῦ ἄρχειν ἀπεώσασθε, τῶν δ' ὑπάρχων ἤν τις πρὸς τὸ φανερὸν χωρήσῃ, δι' ὀργῆς ἔχετε ὡς τυραννικὸν ὄντα καὶ τὴν ἀρχὴν ἀδίκως ἐπικτώμενον· καίτοι οὐ μόνον εὔηθές γε τοῦτο, τοὺς μὲν πόνους ἐθέλειν ὑφίστασθαι, τὰς δὲ τιμὰς φεύγειν, ἀλλὰ καὶ ἐπικίνδυνον. ἤν τέ τις χρηματιστὴς τὸ ἑαυτοῦ μόνον σκοπῶν προφασίζεσθαι περὶ τῆς ἀρχῆς παραινῇ, ὅπως τὰ μὲν κέρδη αὐτὸς χαίρων ἀποφέρηται, ὑμῖν δὲ πράγματα μᾶλλον ἢ χρήματα προστιθῇ, μηδὲ τούτῳ ἐμπαράσχητε τῷ τῆς πόλεως κινδύνῳ ἰδίᾳ ὠφελεῖσθαι, νομίσατε δὲ τοὺς τοιούτους τῷ μὲν λόγῳ περὶ τοῦ σώφρονος καλλιεπεῖσθαι, τοῖς δ' ἐπιτηδεύμασιν πάνυ ἀκολάστως ἔχειν. ἀρχῆς γὰρ οὐκ ἐκστῆναι ὑμῖν ἔστιν ἄνευ κινδύνου ἅπαξ κτησαμένοις (τὸ δ' ἐπικτᾶσθαι ὅμως οὐκ ἐπαινῶ) καὶ πολλὰς μὲν ὀνήσεις ἔχει, πολλὴν δ' αὖ ἐπιμέλειαν· οὐδ' εἰκός τινα τῶν μὲν παραμελεῖν, τῶν δ' ἀπολαύειν. δι' ὅπερ αὐτὸς ἀεὶ παρήνουν ὑμῖν τὰ ὑπάρχοντα εὖ τίθεσθαι μᾶλλον ἢ ἐς τὸ ἔπειτα ἀναβαλομένοις εἶτα στερηθῆναι. ὧν μεμνημένους χρὴν ἀπροφασίστως ἀντιλαβέσθαι τοῦ ἄρχειν καὶ μὴ δι' αἰσχύνην ἀχρεῖόν τινα βάρβαρον[1] κενῷ προσχήματι τυραννίδος ἐᾶν ἐλλαμπρύνεσθαι. τὸ γὰρ ἐπίφθονον οὐκ ἐν τῷ ἄρχειν, ἀλλ' ἤν τις ἄρχων μὴ ὁμολογῇ· ὃ διπλῆν παρέχει τὴν ὑποψίαν, τὴν μὲν τῷ λόγῳ βασιλεύοντι δι' ἀπέχθειαν τοῦ ἔργῳ

[1] βάρβαρον. The titular Nawab of Bengal.

U of M

κρείσσονος, τὴν δὲ τοῖς ἀρχομένοις, μὴ νεώτερόν τι περὶ αὐτῶν ἐκ τοῦ ἀφανοῦς γίγνηται· τοῖς δ' ἀεὶ ἄνευ προφάσεως τυραννεύουσι φιλεῖ τὸ βάρβαρον τὰ πολλὰ ἑκουσίως δουλεύειν. καὶ πρὸς τὸ ἐπικτᾶσθαι, ᾧ μάλιστα ἐνέκειντο οἱ ἐπιστάται, ἱκανὴν ἔχω τὴν ἀπολογίαν, ὡς τὰ ὑπάρχοντα μόλις ἐξὸν διασῴζειν· τὸ γὰρ ἄνευ στρατοῦ ἢ χρημάτων ἐπικτᾶσθαι οὐ ῥᾴδιον· ὧν οὐδὲν ἐνθυμούμενοι τὰ ἀλογώτατα ψεύδονται.

IX. Καὶ ταῦτα δὴ ὥς μοι ἐξ ἀρχῆς ἠναντιοῦτο ἱκανῶς εἴρηται· τὰ δ' ἐντεῦθεν γενόμενα ὧν μάλιστα περὶ ἐπιβόητός εἰμι ἀξιῶ τι καὶ διδάσκειν· τὰ μὲν γὰρ περὶ τῶν Ῥωιλλῶν οἶδ' ὅτι τὸ ἐπίφθονον ἔχει, ἐπεὶ παρ' ὑμῖν ἀεὶ τῶν παλαιῶν φθίνει μὲν τὸ εὐκλεές, ἢν δ' αὖ τις ἁμάρτῃ, ἀκριβὴς ἡ μνήμη διασῴζεται. σκέψασθε δ' οὖν οἵαις ἐν τῷ τότε χρόνῳ ξυνειχόμην ἀπορίαις.

Οἱ γὰρ Μάρατθοι μαχιμώτατον ὂν ἔθνος πάντων ὧν ἴσμεν Ἰνδῶν καὶ πλήθει φοβερώτατον εἰσβολὴν ἐς τὴν Οὐδίαν γῆν συμμαχίδα οὖσαν ἡμῖν διενοοῦντο ποιεῖσθαι. Ῥωίλλαι δ' ἀεὶ λῃσταὶ φύσει ὑπάρχοντες καὶ πρῶτον τοῖς τῶν Ἰνδῶν βασιλεῦσι μισθοφόροι γενόμενοι ὕστερον κατοικισθέντες γῆν ἔνεμον μεθορίαν τῆς ἐκείνων καὶ τῆς Οὐδίας καὶ πολλὰ πρὸς ἀλλήλους στασιάζοντες οὕτω διετέλουν· εἰσβαλόντων δὲ τῶν Μαράτθων εὐθὺς ἐκπλαγέντες τὸν Οὐδίων βασιλέα ξύμμαχον σφίσιν ἐπεκαλοῦντο· τυχόντες μέντοι ἃ ξυνέθεντο χρήματα οὐκ ἤθελον ἀποδοῦναι, ἀλλ' ἐπαμφοτερίζοντες ἔφθειρον τὰ τῶν ξυμμάχων πράγματα. ἔδοξεν οὖν ἐμοὶ ὡς ἐξ ἀνάγκης τοὺς Ῥωίλλας ἀναστῆσαι μᾶλλον ἢ οὐ τοὺς ξυμμάχους ἀναστάτους περιορᾶν γιγνομένους· εἰκὸς γὰρ αὐτοὺς τὰ ἡμέτερα προδόντας καὶ μισθῷ κατὰ τὸ ξυγγενὲς πεισθέντας τοῖς πολεμίοις

ξυστρατεύσειν. καὶ ὅτι μὲν κατεπολεμήσαμεν (ἀνάγκη γὰρ ἦν) ὁμολογῶ· κρατήσαντες δ' ὅτι αἰσχίστῳ τρόπῳ μετεχειρίσαμεν, οὐκ ἀληθῶς ἔχει· ἐνίους γὰρ τῶν προὐχόντων μόνους ἀναστήσαντες ἐξεπέμψαμεν ἐς τὴν Οὐδίαν οὔτε δουλεύσαντες οὔτ' ἄλλο οὐδὲν ὑβρίσαντες, τοῖς δ' ἄλλοις ἄδειαν ἔδομεν τὴν σφετέραν μένουσιν οἰκεῖν ὡς ἐπὶ τοῦ πρὶν χρόνου, ὥσθ' ὑπακούειν μόνον τῷ βασιλεῖ.

X. Καὶ πρὸς τοὺς Μαράθους ὡς προεπιβουλεύειν πολλῷ ἄμεινον ἦν ἢ ἀντεπιβουλεύειν ἐκ τῶν ὕστερον γενομένων δῆλον. οἱ γὰρ τῆς Βομβηίας ἐπίσκοποι, πόλεμον αὐθαίρετον ἀπερισκέπτως ἀράμενοι, νικώμενοι μᾶλλον ἢ νικήσαντες ξὺν χρόνῳ ἀπηλλάγησαν. καὶ ἐγὼ τὸ μὲν ἐς τἀναντία τολμηρὸν ἀεὶ μέμφομαι, ἀνάγκη δ' ὅμως ἦν μεταλαβεῖν· καὶ γὰρ οἷς μὲν αἵρεσις γεγένηται τἄλλα εὐτυχοῦσι πολλὴ ἄνοια πολεμῆσαι· εἰ δ' ἀναγκαῖον ἦν εὐθὺς τοῖς ἐπερχομένοις ὑπακοῦσαι ἢ ἀποκινδυνεύσαντάς πως περιγενέσθαι, ὁ φυγὼν τὸν κίνδυνον τοῦ ὑποστάντος μεμπτότερος. δι' ὃ χρῆν ὑμᾶς τοὺς κίνδυνον τοσοῦτον ἑκουσίως ἀναρρίψαντας δι' ὀργῆς ἔχειν ἀλλ' οὐ τὸν ὑπ' ἀνάγκης βοηθήσαντα τοῖς ἤδη ἐν ἀπόρῳ ἐχομένοις. καὶ δὴ πολλὴ μὲν ἄλλη ἦν ἀνάγκη τῷ πολέμῳ ἐγκαρτερεῖν, μάλιστα δὲ πρὸς τὴν ἐφ' Ἑσπερίας[1] ἄρτι γενομένην ἀπόστασιν βλέποντας τὸ τῆς πατρίδος ἀξίωμα ἤδη πονηρῶς διακείμενον ἐπανορθοῦν, τῶν τε προγόνων μὴ χείρους κατ' ἀμφότερα φανῆναι οἳ μετὰ πόνων καὶ οὐ παρ' ἄλλων δεξάμενοι κατέσχον αὐτά, μᾶλλον δ' ἰσχυρῶς τῶν παραδεδομένων ἀντέχεσθαι.

XI. Καὶ γὰρ μεγάλην δὴ οἶμαι τὴν εὔκλειαν τὰ ἐπ'

[1] τὴν ἐφ' Ἑσπ. ἀπόστασιν. The loss of the American Colonies.

Ἰνδικῆς εὖ διακείμενα ἡμῖν οἴσεσθαι· σκέψασθε γὰρ μόνον ἀφ' οἵας ἐπιτηδεύσεως καὶ τρόπων μεθ' οἵων ἤλθομεν ἐς αὐτὰ καὶ ἐξ οἵας ἀρχῆς τὸ κράτος ἡμῖν γιγνόμενον ἐς ὅσον ἤδη προκεχώρηκεν. ἀρχῆς γὰρ ἡμετέρας σπέρμα μᾶλλον ἐκ ξυμφορῶν ἐγένετο ἡμῖν ἢ ἀπ' εὐτυχίας, ἀλλὰ θείᾳ τινὶ τύχῃ θεραπευθὲν ὑπ' ἀνάγκης ὡς ἐπὶ τὸ πολὺ ἐς μέγα πως βεβλάστηκε· καίτοι νῦν δι' ὀλίγων ἐτῶν ἐρριζωμένη οὕτω βέβαιος ἐφάνη ὥστε μήτε βαρβάρων ξύστασιν τὴν καθ' αὑτοὺς γενομένην μήτ' αὖ Γάλλους φοβερωτάτους λαβοῦσαν ξυμμάχους βίᾳ ἢ ἀπάτῃ δύνασθαι οὐ μόνον οὐ διαφθείρειν, ἀλλ' οὐδὲ τῶν προϋπαρχόντων ἡμῖν τι ἀφελέσθαι. τὴν γὰρ Ἰνδικὴν λέγω ἐπιμελείας μόνον καὶ φυλακῆς καὶ τοῦ σώφρονος δεῖσθαι ἐν τῷ ἄρχειν, ἐξ ὧν μάλιστ' ἂν τὰ φύσει ὑπάρχοντα ἀγαθὰ (θαυμαστὰ γάρ) ἐς ἀκμὴν ἥκοι. τὸ γὰρ ἀστασίαστον τῆς γῆς πλούτῳ ξυνεργὸν ἄριστον, πλοῦτος δ' ἤν τις εὖ διοικήσῃ ἄριστ' ἂν διασῴζοι τὴν ἀρετήν.

XII. Ξυνελὼν δὲ λέγω ὅτι παρὰ πᾶσαν τὴν στρατηγίαν οὐδὲν ἄλλο ἢ τῶν καθ' ἕκαστον προσηκόντων τε καὶ ὑμῖν κοινῇ ξυμφερόντων πλείστην ἐπιμέλειαν τῇ γνώμῃ ποιούμενος οὐκ ἄνευ πόνων τῷ ἔργῳ ἐπεξῆλθον. τὴν μὲν γὰρ ἰδίαν ἀξίωσιν ἀλλοτρίαν ἡγούμενος, τὰ δὲ κοινὰ μᾶλλον οἰκεῖα τιθέμενος, τὰ μὲν ὡς ἔοικεν ἠφάνιζον, τὰ δ' αὖ παρὰ πολὺ πλεῖστον εἷς ἀνὴρ ηὔξανον, καὶ οὐκ ἔστιν ὅτε φόβῳ ἢ χρημάτων ἐνδείᾳ ἢ μοχθηρίᾳ τῶν ξυμβούλων ἡσσημένος τῆς γνώμης ἐξέστην· ὅστις γὰρ ἐπὶ μεγίστοις τὸ ἐπίφθονον λαμβάνει ὀρθῶς βουλεύεται. τὸ δ' οὖν τῶν Βρεταννῶν ἀξίωμα μέγα τι καὶ ἄξιον καὶ παρὰ δύναμιν διασῴζειν, καὶ μὴ τοῖς σωφρονισταῖς δὴ οὖσι τῆς γνώμης πείθεσθαι ὡς οὐκ

ἐν τῷ δικαίως ἄρχειν τὸ εὐκλεὲς ἀλλ' ἐν τῷ ἑκουσίως ἄρχεσθαι· ἀρχῆς γὰρ ἤδη ἡμῖν καθεστώσης, εἰ καί τις βούλοιτο, οὐκ ἔστιν ἀσφαλῶς μεθίεσθαι, μετὰ δ' εὐνομίας τε καὶ ἐπιεικείας βεβαιουμένη ἀρετὴν μάλιστα ἐνδέχεται καὶ πλείστην ἂν ὄνησιν μετ' ἐλαχίστου κινδύνου ἐπιφέροι.

XIII. Καὶ τὸ μὲν ὑμέτερον ὡς καλῶς ὑπ' ἐμοῦ διάκειται εἰρήσθω· τὰ δ' ἐκείνων ἔτι κάλλιον ἔχει. σκέψασθε γὰρ οἵαν τὴν Ἰνδικὴν παραλαβὼν οἵαν τῷ διαδεχομένῳ παρέδωκα, τοὺς ἐνοίκους παντὶ τρόπῳ ὑπὸ τῶν σφετέρων δεσποτῶν καὶ ἡμετέρων ἀποίκων κακῶς πάσχοντας καὶ ἔστιν οὗ στασιάζοντας καὶ γῆν ἀνάστατον καὶ πᾶσαν ἰδέαν τῆς ἀδικίας εὑρὼν παρ' αὐτοῖς, οἳ νῦν ἥσυχοί τε καὶ περιουσίᾳ χρημάτων αὐτάρκεις καὶ ἀρχῇ μετὰ τοῦ βεβαίου μετρίᾳ ὑποχείριοι ὄντες τὴν σφετέραν οἰκοῦσι· καίτοι τῷ ὠμῷ καὶ τυραννικῷ τῆς ἐμῆς φύσεως, ὃ μάλιστα οὗτοι κατ' ἐμοῦ ἰσχυρίζονται, οὐκ εἰκὸς τὰ τοιαῦτα ἐπιτηδεύματα ἀντίπαλα εἶναι. τεκμήριον δέ· οἱ γὰρ Ἰνδοὶ πολλῇ τ' ἄλλῃ φιλίᾳ ἐχρῶντο πρὸς ἐμὲ καὶ μάλιστα τὸ ἤπιον καὶ μέτριον τῆς ἀρχῆς ἐπῄνουν· καὶ μὴν ῥᾴδιον τὸ τοὺς ἀεὶ ὑπηκόους βίᾳ κατέχειν, εὐνοίᾳ δ' οὔ, ὡς τῇ μὲν ἐλευθερίᾳ τὸ προθυμὸν ξυγγενὲς ὄν, τοῖς δ' ἀρχομένοις τὸ ὕποπτον. καὶ δὴ ὡς οὐ λόγων ἐν τῷ παρόντι κόμπος τάδε μᾶλλον ἢ ἔργων ἀλήθεια, ὁ διάδοχος[1] ἐμοῦ τῆς στρατηγίας σημαίνει. ἄρτι γὰρ κατελθὼν καὶ μάρτυς ἐμοὶ γενόμενος ἔλεξεν ὅτι περὶ οὐδενὸς πώποτε ἐγκλήματος ὑπὸ τῶν Ἰνδῶν ἐφ' ἑαυτοῦ ἄρχοντος ᾐτιάθην, ἀλλ' ὡς εὐνοίᾳ οὐ τῇ τυχούσῃ περὶ ἐμοῦ ἐμνήσθησαν.

[1] ὁ διάδοχος. Lord Cornwallis, Hastings' successor as Governor-General, gave evidence for the defence on his return in 1794.

XIV. Ἀλλ' ἤν τις τὸ ἐμὸν φιλοκερδὲς διώκῃ, μέγα τι τὸ ἑαυτοῦ ἄδωρον ἡγούμενος, αἴσχιστα ψεύδεται. ἐγὼ γὰρ πάντων μόνος οἷς ποτε ξυνέβη τὰ τῶν Ἰνδῶν διοικεῖν ἀδωρότατος ἀξιῶ εἶναι καὶ τῶν μὲν ἀλλοτρίων ἀεὶ φειδόμενος, τῶν δ' ἐμῶν, εἴ τί που δέοι πρὸς τὰ κοινά, καὶ παρὰ δύναμιν ἀφειδής. οἱ μὲν γὰρ πλεῖστοι πρὸ ἐμοῦ πένητες ἐς τὴν Ἰνδικὴν τὸ πρῶτον ἀφικόμενοι μάλα πλούσιοι ξὺν χρόνῳ κατῆλθον· ἐμοὶ δὲ διὰ τὸ κρείσσονα εἶναι χρημάτων τοὐνάντιον νῦν περιέστηκεν ὥστε μέτριόν τι κεκτημένῳ ὑπὸ τῆς πολυτελείας τῆς δίκης ταύτης τὸ πᾶν δεδαπανῆσθαι· καίτοι εἰκός γ' εἰ πρὸς τὸ χρηματίζεσθαι ἐτραπόμην ὡς μεγίστην ἔχοντα τὴν ἐξουσίαν μέγιστ' ἂν πλουτεῖν.

XV. Τοιαῦτα μὲν δὴ τὰ ὑπ' ἐμοῦ πεπολιτευμένα· τὰ δὲ παρ' ὑμῶν οὐκ ἐκ τοῦ ὁμοίου ἐστίν, οἳ εὐθύς μοι κατελθόντι τήνδε τὴν δίκην εἰσαγαγόντες καὶ ἐς τοσοῦτον παρὰ λόγον μηκύναντες τὴν ἐσχάτην πενίαν καὶ δύσκλειαν προστίθετε· καὶ γὰρ τῇ κρίσει ταύτῃ ἤδη διαγέγονεν ἔτη ἑπτά, ἐν οἷς ὑμῶν μὲν πολλοὶ τῶν δικαστῶν ἀπέθανον, μαρτύρων δ' ἐμῶν οἱ πλεῖστοι ἀποίχονται, αὐτός τε κακοῖς τοσούτοις ξυνεχόμενος ὅσον οὐ καὶ ἀποθανεῖν ἡδέως ἂν δεχοίμην. οὗτοι δὲ πᾶν εἶδος κατηγορίας ἔτι μηχανώμενοι οὐ τόδ' ἐμοὶ συγχωροῦσιν, ὃ καὶ παντί τινι μοχθηρῷ εἰκὸς νόμῳ ὑπάρχειν, ὡς ταχίστην τὴν ἑαυτοῦ διάγνωσιν γίγνεσθαι· τὸ γὰρ ἐν ἐσχάτῳ κινδύνῳ αἰωρεῖσθαι μεῖζον κακὸν ἢ καταγνωσθέντα δοῦναι δίκην. ὥστ' εἰ καὶ πάντων τῶν ἐγκλημάτων ἦν αἴτιος, ξυγγνώμης τινὸς ἀφ' ὑμῶν ἠξίουν ἂν τυγχάνειν ὡς μεῖζον διὰ τὴν νῦν μέλλησιν τῆς κρίσεως ἀδικούμενος ἢ διὰ τὴν τότε προθυμίαν τῶν ἔργων ἀδικῶν. νῦν δὲ τοὺς θεοὺς πάντας

μαρτύρομαι ὅτι ἀναίτιος εἰμί, καὶ πρὸς τὸν δῆμον τῶν Βρεταννῶν, οἷς ὑπεύθυνος γενόμενος ἐς αἰτίαν ἥκω τοῦ τῆς Ἰνδικῆς τὰ σφέτερα ὄντα ἀνάστατα ποιῆσαι, ἀποκρίνομαι ὅτι νῦν πάσης τῆς Ἰνδικῆς τὰ ἡμέτερα δι' ἐμὲ ἕνα ὄντα μάλιστα εὐπορεῖ, ἐμοὶ δ' ὅτι παρὰ πάντας ἄλλους ὠφελίμῳ ὑμῖν γενομένῳ νῦν πενίαν καὶ δύσκλειαν ἀμείβεσθε καὶ δίκην ἑπτέτη. καὶ τάδε εἰ τοσούτων ἀγαθῶν ἀξίαν χάριν ἀνταπέδοτε, αὐτοῖς νῦν ἔστι κρίνουσι τῇ ψήφῳ διαγνῶναι.

Μήτ' οὖν προδόται γένησθε ὑμῶν αὐτῶν μήτ' ἐμοῦ τοῦ ὑφ' ὑμῶν ἠρημένου ἄρχειν μήτε τῆς ἀρχῆς ἣν οἱ πατέρες ὑμῖν παρέδοσαν· οὐ γὰρ ἀφανῆ κρινεῖτε τὴν δίκην ταύτην, ἀλλ' ἐπαινούμενοι περὶ οὐδ' ἐμοῦ μεμπτοῦ· ἣν δ' οὖν περὶ ἐμοῦ γνωσθῆτε τὰ μὴ εἰκότα, ὁρᾶτε ὅπως μὴ ὑμῶν μὲν οὐδεὶς ἄλλος ἐθέλῃ πρὸς τὸν ἐμὸν μισθὸν ἀποβλέπων τῶν ὑμετερῶν ἔτι προεστάναι, οἱ δὲ βάρβαροι τούτῳ παραδείγματι χρώμενοι, καὶ τεκμαιρόμενοι ὡς ἀδείᾳ ἐξέσται σφίσιν ὅ τι ἂν τύχωσιν ἀδικεῖν, τὴν ἀρχήν, ἧπερ ἅπαντες ἀγάλλεσθε, ταχέως καθαιρῶσι.

UofM